# ΤΟ «ΠΕΡΙ ΤΩΝ ΕΝ ΟΔΟΥΣΙ ΠΑΘΩΝ» ΕΡΓΟΝ ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΗΝΟΥ[1]

Ὑπὸ τὸ ὄνομα τοῦ Νεοφύτου Προδρομηνοῦ φέρονται δύο πρὸς τὴν ἰατρικὴν σχέσιν ἔχοντα ἔργα[2], τὸ ὑπὸ τὸν τίτλον: *Συλλογὴ κατὰ στοιχεῖον περὶ βοτανῶν* ἐκδοθὲν ἐπὶ τῇ βάσει ἐνίων τῶν ὑπαρχόντων κωδίκων ὑπὸ V. Landström (ἐν Eranos V, 132) καὶ τὸ ὑπὸ τὸν τίτλον: *Διδασκαλία περὶ τῶν ἐν ὀδοῦσι παθῶν*, οὗ ὡς μόνον χειρόγραφον φέρεται τὸ ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ τῆς Ἑλλάδος ἀποκείμενον[3]. Ἀλλ᾽ ὅτι καὶ ἄλλα ἀπόγραφα τοῦ ἔργου τούτου ὑπῆρχον, καὶ ἴσως ἔτι ὑπάρχουσι, δῆλον ἐκ τῆς παρὰ Montfaucon[4] ἀναγραφῆς, καθ᾽ ἣν ὅμοιον εὕρητο ἐν βιβλιοθήκῃ Guill. Pelisser («*de dentium morbis*»). Παρὰ τῷ αὐτῷ Montfaucon[5] ἀναφέρεται ἐπίσης καὶ ἕτερον ἔργον τοῦ Νεοφύτου, τὸ *ἰατρικὸν ἢ περὶ ἁπλῶν φαρμάκων* («memoratur cod. Bibl. Taurin. quo continere dicitur Neophyti monachi *medicinale* s. de medicamentibus simplicibus»), ἴσως ἐράνισμα τοῦ ὑπὸ τὸν τίτλον: «*περὶ τῆς τῶν ἁπλῶν φαρμάκων κράσεως καὶ δυνάμεως*» γνωστοῦ ἔργου τοῦ Γαληνοῦ.

Ἡ *διδασκαλία περὶ τῶν ἐν ὀδοῦσι παθῶν*, ὡς ἔχει ἀκριβῶς ὁ τίτλος τοῦ ἔργου τούτου, περιλαμβάνεται ἐν τῷ Ἀθηναϊκῷ κώδικι 1481, γεγραμμένῳ κατὰ τὴν ις΄ ἑκατονταετηρίδα ἐπὶ χάρτου κοινοῦ (0,20×0,16), ἐν ᾧ περιλαμβάνεται ὡς β΄ ἔργον ἡ *Διάγνωσις ὑελίων τοῦ οὔρου* τοῦ Μαξίμου Πλανούδη καὶ γ΄ ἡ περὶ οὔρων διάγνωσις Ἰωάννου τοῦ Ἐπισκόπου, περὶ ἧς ἐπραγματεύθην πρὸ τῶν μελῶν τῆς Ἑλληνικῆς Ἑταιρείας τῆς Ἱστορίας τῆς ἰατρικῆς ἐπὶ τῇ βάσει καὶ ἑτέρων κωδίκων ἀποκειμένων ἐν ἄλλαις βιβλιοθήκαις τῆς Εὐρώπης. Τὸ ἔργον δὲ περιλαμβάνεται ἐν ταῖς σελίσι 2 - 42 τοῦ κώδικος καὶ ἄρχεται διὰ τῶν ἑξῆς: *Ἐν τοῖς ὀδοῦσι παθῶν ἔνια μὲν ἐναργῶς ἅπασι φαίνεται.....*, τελευτᾷ δὲ διὰ τῶν ἑξῆς· *ἐνστάζων ἀρνογλώσσου χυλόν, ὅσον ἐπιδέχεται καὶ*

[1] Ἀνακοίνωσις γενομένη πρὸ τῶν μελῶν τῆς Ἑλληνικῆς Ἑταιρείας τῆς Ἱστορίας τῆς Ἰατρικῆς ἐπὶ τῇ εὐκαιρίᾳ τοῦ Ἰωβιλαίου τοῦ ἐν Βιέννῃ διαπρεποῦς τακτικοῦ καθηγητοῦ τῆς Ἱστορίας τῆς Ἰατρικῆς καὶ ἐπιτίμου μέλους τῆς ἑταιρείας κ. Max Neuburger, ᾧ καὶ ἀφιεροῦται.

[2] Βλ. Diels, Die Handschr. d. ant. Aerzte, II, 68.

[3] Βλ. Diels, Ἔνθ᾽ ἀνωτ.

[4] Bibl. mss. σελ. 199.

[5] Ἔνθ. ἀνωτ. σελ. 1399.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*ἑνώσας χρῶ πρὸς πᾶσαν φλεγμονὴν καὶ ὀφθαλμίαν.* Σημειωτέον ὅμως ὅτι τινὰ τῶν κεφαλαίων εἰσὶν ἄσχετα ὅλως πρὸς νοσήματα τῶν ὀδόντων ἢ καὶ τοῦ στόματος, ὡς ῥηθήσεται παρακατιόν.



Εἰκ. 1. Ἀρχὴ τοῦ ἔργου «περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν» ἐκ τοῦ κώδικος 1481 τῆς Ἐθν. Βιβλιοθήκης τῆς Ἑλλάδος.

Ἡ μελέτη τοῦ ἔργου τούτου τοῦ Νεοφύτου ἀποδεικνύει ὅτι τοῦτο τυγχάνει ἁπλοῦν ἐράνισμα, ὡς τὰ πολλὰ κατὰ λέξιν, τοῦ περὶ τῶν «*ἐν τοῖς ὀδοῦσι παθῶν*» κεφαλαίου τοῦ «*περὶ συνθέσεως φαρμάκων τῶν κατὰ τόπους*» γνωστοῦ ἔργου τοῦ διασήμου ἀρχαίου Ἕλληνος ἰατροῦ καὶ συγγραφέως Γαληνοῦ (Βλ. βιβλ. Ε΄, ἐν ἐκδ. Kühn. Τόμ. XII, σελ. 848), ἐφ᾽ οὗ στηριζόμενοι δυνάμεθα μάλιστα τά τε πολλαχοῦ ὑπάρχοντα ἐν τῷ κειμένῳ κενὰ νὰ συμπληρώσωμεν καὶ τὰ πολυάριθμα κατὰ τὴν ἀντιγραφὴν σφάλματα νὰ διορθώσωμεν.

Ἰδοὺ πῶς ἔχει ἡ παραβολὴ τοῦ κειμένου τοῦ χειρογράφου πρὸς τὸ κείμενον τοῦ Γαληνοῦ:

*Νεοφύτου διδασκαλία περὶ τῶν ἐν τοῖς ὀδοῦσι παθῶν.* (Γαλ. Kühn σελ. 848): φ.2α

*⟨Τῶν⟩ Ἐν τοῖς ὀδοῦσι παθῶν ἔνια μὲν ἐναργῶς ἅπασι φαίνεται, καθάπερ ὅταν οἱ τοιοῦτοι τρηθῶσιν ἢ μελανθῶσιν ἢ ἐκτριβῶσιν ἢ μ⟨ήτε⟩ τῶν ψυχρῶν ἀνέχωνται, μήτε τῶν θερμῶν, ἀλλ᾽ ἐπ᾽ ἀμφοτέροις ⟨ἢ θα⟩τέρῳ μόνῳ συμβαίνῃ τις αὐτοῖς ὀδύνη. Τινὰ δ᾽ οὐ φαίνεται ⟨σαφῶς⟩ τῶν ἐν αὐτοῖς παθῶν, ὥσπερ ὅταν ὁ πάσχων αὐτὸς αἰσθά⟨νεσθαι φῇ⟩ τῆς κατὰ τὸ σῶμα τοῦ ὀδόντος ὀδύνης, ἐν βάθει γιγνομένης. Ἀντὶ ⟨λέγουσι γὰρ⟩*

3 ἐκτριβῶσιν ἢ με 4 ἀνέχονται 5 συμβαίνει 7 γιγνωμένης.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*ἔνιοι φάσκοντες ὀστοῦν ὄντα τὸν ὀδόντα, χωρὶς ὀδύνης πάσχ⟨ειν ὥσπερ
ὅταν⟩ τῇ καλουμένῃ ῥίνῃ τὰς ὑπεροχὰς αὐτῶν ἀναγκα⟨σθῶμεν πρίζειν ἢ⟩
δι᾿ ἄλλην τινὰ πρόφασιν, ἣν ὀλίγον ὕστερον ἐρῶ. Νυνὶ ⟨γὰρ βούλομαι⟩
χωρὶς λογικῆς τε καὶ φυσικῆς ἀποδείξεως, μαρτυρῆσαι τοῖς ⟨φάσκουσιν⟩
αὐτὸν ἀλγεῖν τὸν ὀδόντα. Καὶ γὰρ κἀγὼ ἀλγήσας ἀκριβῶς ἐμαυτὸν προσ-
φ. 2β έσχον|, ὡς ἂν ἤδη προακηκοὼς τῶν ἀμφισβητήσεων, ᾐσθανόμην τε σαφῶς
οὐ μόνον ἀλγοῦντος ἀλλὰ καὶ σφύζοντος τοῦ ὀδόντος, ὁμοίως ταῖς φλεγ-
μαινούσαις σαρξίν, ὥστε με θαυμάζειν εἰ καὶ τοῦτο τὸ πάθος, ὃ καλοῦμεν
φλεγμονήν, ἐν ὀδόντι γενέσθαι δύναται, λιθώδη καὶ σκληρὰν οὐσίαν ἔχοντι.
Καὶ μέντοι καὶ καθ᾿ ἕτερον καιρὸν ἀλγήσας ὀδόντα, σαφῶς ᾐσθόμην οὐκ
αὐτοῦ τοῦ ὀδόντος, ἀλλὰ τῶν οὔλων εἶναι τὸ ἄλγημα· φλεγμαινόντων δὲ
αὐτῶν ὡς καὶ χωρὶς τῆς θλίψεως ἀλγεῖν· ἀλλὰ καὶ τῇ γειτνιάσει τῶν ὀδόν-
των σκληρῶν ὄντων, αὐξανομένης τῆς ὀδύνης διὰ τὴν θλίψιν, ὥστε ἑκα-
τέρας τῆς αἰσθήσεως πεπειραμένος ἄλλης μὲν ἐπὶ τοῖς οὔλοις, ἄλλης δ᾿ ἐπ᾿ αὐ-
τῆς τῆς τοῦ ὀδόντος οὐσίας, σαφῶς οἶδα καὶ μαρτυρῶ τοῖς λέγουσιν ἀλγεῖν
αὐτοὺς τοὺς ὀδόντας ποτέ. Καὶ μέντοι καὶ τῷ καταφυομένῳ νεύρῳ τῇ ῥίζῃ
φ. 3α τοῦ ὀδόντος ὀδύνη γίνεται ποτὲ τοῦ νεύρου φαντασίαν | συγκεχυμένην
καὶ ἀδιάρθρωτον τοῖς πολλοῖς φέροντος, ὡς αὐτοῦ τοῦ ὀδόντος ἀλγοῦντος,
εὔλογόν ἐστι. Καὶ γὰρ καὶ τούτου σαφῶς ᾐσθόμην ποτὲ συμβάντος μοι. Καὶ
τό γε διαμένειν ἔτι μέρος σμικρὸν τῆς ὀδύνης, ἐξαιρεθέντος τοῦ ὀδόντος,
ἐπὶ τῇ τοῦ νεύρου γίνεται φλεγμονῇ, κουφιζομένου μόνον ἐκ τοῦ μηκέτι
μηδὲν τείνεσθαι τῆς πρὸς τὸ τεῖνον ὀστοῦν συμφύσεως ἐλευθερωθέν, ἀνα-
πνοήν τέ τινα οὖν σχεῖν καὶ τῶν προφερομένων ἰαμάτων ψαύειν. Οὔτε τὸ
κατὰ ψαῦσιν οὔτε κατὰ διάδοσιν οἷόν τε τὸ φλεγμαῖνον ἰᾶσθαι νεῦρον, ἑκα-
τέρωθεν μὲν ὑπὸ τῶν φατνίων στεγόμενον, ἔμπροσθεν δὲ ὑπ᾿ αὐτοῦ τοῦ
ὀδόντος.*

*Εἰ δὲ πελιδνοὶ δι᾿ ὅλης ἑαυτῶν τῆς οὐσίας οἱ ὀδόντες φαίνονταί ποτε γιγνό-
μενοι, θαυμαστὸν οὐδέν ἐστι πάσχειν αὐτούς τι καὶ τῇ φλεγμονῇ παραπλή-
φ. 3β σιον. Ἔτι δὲ μᾶλλον ἄν τις τοῦτο πιστεύσειεν ἐν τῷ τρέφεσθαι | ἐν ἅπαντι
τῷ τῆς ζωῆς χρόνῳ τὴν αὔξησιν ἔχειν. Ἐναργῶς γὰρ τοῦτο ⟨φαίνεται⟩
πολλάκις ἐπὶ τῶν ἀντικειμένων τοῖς ἐξαιρεθεῖσιν ὀδοῦσιν, αὐξανομένων
μὲν διὰ παντὸς αὐτῶν, ὅταν δὲ αὐξάνωνται τοσοῦτον τῇ ⟨τῶν σι⟩τίων
λειώσει τριβόμενοι δαπανῶνται· εἰ δ᾿ ἀδύνατόν ἐστι αὐξά⟨νεσθαι χωρὶς⟩ τοῦ
τρέφεσθαι, πάντως που καὶ δυσὶν ὑποκείσονται παθήμασιν ⟨ἐναντίοις⟩, ἐνδείᾳ
τε καὶ πλεονεξίᾳ τῆς χορηγουμένης αὐτοῖς τροφῆς. Ἡ ⟨μὲν οὖν⟩ ἔνδεια
ξηροτέρους τε καὶ ἀτροφωτέρους καὶ διὰ τοῦτο λεπτ⟨οτέρους ἐργάζεται⟩.
Ἡ πλεονεξία δὲ ποιήσει καί ποτε διάθεσιν ἐν αὐτοῖς ⟨ἀνάλογον⟩ τῇ κατὰ*

---

1 ὀστοῦν ὅταν 5 προσέσχω 9 ληθώδη 14 ἄλλοις 15 οἶδα 22 γίνεσθαι 23 ἀνα-
πνοὴν ἣν 31 ἐπιὼν ἀντ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*τὰ σαρκώδη μόρια φλεγμονῇ. Ταύτης μὲν οὖν ἴαμα⟨τα⟩ γενήσεται τὸν αὐτὸν ἔχοντα σκοπὸν τοῖς τὰς φλεγμονὰς ἰωμένοις, ὅπερ ἐστὶ κενῶσαι τὴν πλεονεξίαν· τὸ μέν τι διαφοροῦν⟨τα⟩, τὸ δὲ ἀποκρουόμενον αὐτῆς. Τῆς δὲ δι' ἔνδειαν | τροφῆς λεπτότητος τῶν ὀδόντων ἴαμα μὲν οὐδέν ἐστι, τὸ χαλᾶσθαι δὲ ἀναγκαῖον τηνικαῦτα καὶ σείεσθαι, χαλαροτέρας τῆς ἐγγοφώσεως γεγονυίας οὐ μόνον αὐτῶν τῶν ὀδόντων λεπτυνθέντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοὺς φατνίων. Αὕτη μὲν οὖν ἡ διάθεσις ἐπιγίνεται τοῖς γηρῶσιν, ἢ καὶ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ὥσπερ γε καὶ μᾶλλον ἢ ἧττον· εἰ δ' ἀνάλογόν τι τῇ φλεγμονῇ ἔχει, μᾶλλον τοῖς νέοις· βοηθητέον οὖν ἐστι καὶ τοῖς γέρουσι, τῇ διὰ τῶν οὔλων βοηθείᾳ. Καλοῦνται δὲ οὕτως αἱ ἀντιπεριλαμβάνουσαι τοὺς ὀδόντας σάρκες, ἔνθα πρῶτον ἀνίσχουσι τῶν φατνίων· αὐτὰς οὖν ⟨χρὴ⟩ στύφουσι φαρμάκοις ἐντονωτέρας καὶ μᾶλλον ἐσφιγμένας περὶ τῶν ὀδόντα ποιεῖν, ὥστε αὐτὰς ὠφελούσας τι τῷ μονίμῳ τε καὶ δυσκινήτῳ διὰ τὴν τῆς ἐγγοφώσεως ἀκρίβειαν γεγονότι. Καὶ μὴν καὶ τὰ τρήματα τῶν ὀδόντων | ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων καὶ διαβρωτικῶν ἐπιτελεῖται, καθάπερ τὰ ἐπὶ τοῦ δέρματος ἕλκη, χωρὶς τῆς ἔξωθεν αἰτίας. Ἀλλ' ἐπ' ἐκείνου μὲν συνεχῶς καὶ πολλοῖς, ἐπὶ δὲ τῶν ὀστῶν σπανιάκις, ὅσῳ δυσπαθέστερα δέρματός ἐστι διὰ τὴν σκληρότητα. Δῆλον οὖν ὅτι καὶ ἡ ἴασις ἔσται τῶν ἀναβιβρωσκομένων σωμάτων, ἀναξηραινομένης τῆς ἐπιρρεούσης κακοχυμίας. Εἰ μὲν ὀλίγη τις εἴη, τοῖς τοπικοῖς βοηθήμασι διὰ τὴν τῶν ξηραινόντων φαρμάκων, ὧν τὴν ὕλην, ὀλίγον ὕστερον ἐροῦμεν· εἰ δὲ πλείων, ὅλης τῆς κεφαλῆς τῇ προνοίᾳ, κἂν αὕτη πάσχῃ ποτὲ διὰ τὸ σύμπαν σῶμα καὶ τῇ κατ' ἐκεῖνο θεραπείᾳ. Τοὺς δὲ βιβρωσκομένους ὀδόντας, ὡς ἂν ὑπὸ μαλακότητος τοῦτο πάσχοντας, ἐργάζεσθαι χρὴ σκληροτέρους καὶ δυσπαθεστέρους διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν φαρμάκων καὶ τοὺς πελιδνουμένους καὶ διὰ τῶν ξηραινόντων, ὡς ἂν| ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν τοῦτο πάσχοντας, ὁμοίας θεραπείας δέονται τῶν τετρημένων.*

φ. 4α (after «χαλᾶ-»), φ. 4β (after «καθά-»), φ. 5α (after «τοῦτο»)

[Γαλ. 853]. *Τοῦ αὐτοῦ θεραπεία οὔλων διὰ φλεγμονὴν ὀδυνωμένων :*

*Οὔλων διὰ φλεγμονὴν ὀδυνωμένων ἄριστόν ἐστι φάρμακον ἔλαιον σχίνινον, εὔκρατον κατὰ θερμότητα διακρατούμενον. Ἔστω καὶ νέον, ὡς τό γε παλαιότερον εἰς τοσοῦτον τοῦ νέου φαυλότερον, ὅσον καὶ παλαιότερον. Ἐνιστάσθω καὶ τὸ ἀγγεῖον ἐν ᾧ θερμαίνεται τὸ σχίνινον, ἑτέρῳ μείζονι θερμὸν ἱκανῶς ὕδωρ ἔχοντι. Μάλιστα μὲν οὖν ἁρμόττει τοῦτο τῇ φλεγμονῇ τῶν οὔλων, οὐ μὴν κατ' ἄλλο τι μέρος τοῦ τε τὴν γλῶτταν ἀμφιεννύντος ὑμένος καὶ ὑπεζωκότος σύμπαν τὸ στόμα γένηταί τις ὀδύνη διὰ φλεγμονήν, ἀνωδυνίας ἐστὶ ποιητικὸν τὸ σχίνινον. Ἀποκρούεται γὰρ ἀλύπως ἄνευ τρα-*

8 ὀψιαίτερον 9 ἡ φλεγμονὴ 10 οὐλῶν 11 ἀνίσχουσαι 13 ὁμονίμῳ 25 στυφνῶν 27 τετρημμένων 28 οὐλῶν ὀδυνομένων 29 οὐλῶν ὀδυνομένων 30 θερμότιτα 33 ἱκανῶς ἁρμόττει 34 οὐλῶν ἀμφιεννοῦντος 35 ὑμεο.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

χύτητος, ἣν ἔχει τὰ πλεῖστα, διαφορεῖται τε ἀδήκτως, οὗ μάλιστα τοῖς φλεγ-
φ. 5β μαίνουσι χρεία. Ἔνιοι δὲ τῶν | ἰατρῶν κοινῷ τινι χρώμενοι παραλογισμῷ, βλάπτουσι τὰ φλεγμαίνοντα.

[Γαλ. 884]. Καὶ χρὴ διασκεψαμένους ἅπαξ ὑπὲρ αὐτοῦ φυλάττεσθαι τοῦ λοιποῦ. Νομίζουσι γάρ τὰ στύφοντα μόνον ὀνίνησι τὰς φλεγμονὰς ἀποκρουόμενα τὸ ἐπιρρέον, ἔστι δ' ὅτε καὶ τοῦ περιεχομένου τε κατὰ τὸ φλεγμαῖνον ἐκθλίβοντα πρὸς τὰς τρεφούσας φλέβας τὸ μόριον, εἰκὸς εἶναι τὸ μᾶλλον στῦφον ὀνήσασθαι. Οὕτω δὲ καὶ τὸ διαφοροῦν μᾶλλον ὠφελεῖν, οἴονται ⟨τοῦ⟩ μετρίου τοῦτο δρῶντος, οὐκ ἐννοοῦντες ὡς τὸ καθ' ἑκάτερον αὐτῶν ἐπιτεταμένον ὀδυνηρὸν γίνεται τοῖς φλεγμαίνουσιν· ὑπὸ μὲν γὰρ τῶν σφοδρῶς στυφόντων, ὅμοιον τῇ θλάσει πάσχει τὰ μόρια, συναγομένης αὐτῶν τῆς ἐξουσίας βιαίως. Ὑπὸ δὲ τῶν δριμέων τῇ διαβρώσει τι παραπλήσιον. Εἰκότως οὖν τὸ σύμμετρον ἐν ἑκατέρῳ βέλτιόν ἐστι τῶν ἀμέτρων. Ταῦτα μὲν οὖν αὐτάρκως μοι προείρηται· περὶ δὲ τῶν κατὰ τὰς ὀδύνας διαθέσεων ἐνδιαλαβὼν ἐφεξῆς ἐρῶ.

[Γαλ. 855]. Τῶν ὀδυνωμένων ὀδόντων ἄνευ τῆς τῶν οὔλων φλεγμονῆς, ἐσθ' ὅτε μέν, ὡς ἔφην, ἐν αὐτῷ τῷ οἰκείῳ σώματι τὴν ὀδύνην, ἐσθ' ὅτε δὲ ἐν τῷ νεύρῳ γίγνεσθαι. Σφοδροτάτων οὖν ἐστι χρεία φαρμάκων, εἴ τε ἀποκρούεσθαί τις, εἴτε διαφορεῖν ἐθέλοι τὸ τῆς ὀδύνης αἴτιον, ἐάν τε χυμὸς ᾖ, ἐάν τε φυσῶδες πνεῦμα. Καὶ διὰ τοῦτο τὰ πλεῖστα αὐτῶν δι' ὄξους σκευάζεται δριμυτάτου. Παραγράψω γὰρ δ' ἐφεξῆς καὶ τὰ διὰ τῆς ἱστορίας ἡμῶν παραρεδομένα τὴν ἀρχὴν ἀπὸ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων ποιησάμενος.

Τῶν παρ' Ἀρχιγένους γεγραμμένων κατὰ λέξιν οὕτως. Θεραπεία πρὸς ὀδύνας ὀδόντων. Ἡ δύναμις τῶν τοιούτων φαρμάκων ἐστι θερμαντική,
φ. 6β σπάνιον ἔχουσα τὸ στῦφον· ἔχουσι δὲ | καί τι ναρκωτικόν. Ἀλγοῦντας ὀδόντας διακλυζέσθω ὄξει θερμῷ δριμεῖ μετὰ κηκίδος καὶ ἁλικακάβου ῥίζης, μετ' ὄξους καὶ κηκίδων· καὶ δαδίοις λιπαροῖς ἀνεζεσμένοις ἐν ὄξει καὶ μυρσίνης κλωνίοις ....

φ. 8α [Γαλ. 859]. Ἀρχιγένους περὶ ⟨περι⟩πλασμάτων καὶ ἐπιθεμάτων. Φάρμακα πρὸς ὀδόντας τετρημένους, ὀδυνωμένους καὶ ἀνωδύνους.

Σῶρυ αἰγύπτιον, ῥητίνῃ τερεβινθίνῃ ἀναληφθέν, περίπλασσε καὶ τῷ βρώματι ἐντίθει καὶ τὴν διὰ δύο πεπέρεων ἐντίθει, ἀνιεὶς αὐτῷ ῥοδίνῳ καὶ ναρδίνῳ, μάλιστα καὶ ἀμυγδαλίνῳ, καὶ εἰς τὸ ....

φ. 9α (Εἰς τὴν ᾠαν) Τοῦ αὐτοῦ ἐπὶ φλεγμαινόντων καὶ βεβρωμένων.

Ἐπὶ δὲ τῶν ὡσανεὶ ἐν φλεγμονῇ, νίτρον ἐρυθρὸν καὶ περσαίας ὀστέων τὸ ἐντὸς ἑνώσας ῥητίνῃ ἀναλάμβανε καὶ περίπλασσε τὸν ὀδόντα καὶ ἔα ......

[Γαλ. 861]. Τοῦ αὐτοῦ πρὸς οὖλα αἱμασσόμενα.

---

7 εἰκὼς 8 στύφον ὀνίνασθαι οἷον τοῦ 10 ἐπιτεταμένως 28 κικίδων 31 τετρημμένους ὀδυνομένους 32 σῶρι.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*Ἄκρως ποιεῖ ὑγρὰ στυπτηρία μετὰ διπλοῦ ἀλόης προσαπτομένη· καὶ* φ. 9β
*σχιστῇ καὶ μυρσίνῃ λειοτάτοις καὶ παράτριβε· στυφθέντων δὲ μέλιτι χρίε....*

*Γαληνοῦ. Ὀδοντοτρίμματος φαρμάκου σύνθεσις πρὸς διὰ πᾶσαν ψυχρὰν αἰτίαν ὀδυνωμένων καὶ ῥευματισμὸν ὀδόντων.*

*Σιδιρῖτιν καὶ περδικίαν τὰς βοτάνας λαβὼν ἐπίσης σταθμῷ ξηρὰς ⟨ἐν σκιᾷ φρύξον⟩.* [Γαλ. 885].

[Γαλ. 887]. *Τιμοκράτους ὀδοντότριμμα πρὸς οὖλα πλαδαρὰ καὶ αἱμασσόμενα,* φ.10β
*ὀδόντας κινουμένους, ὀδονταλγίας καὶ σηπεδόνας καὶ πάντα τὰ ἐν στόματι καὶ παρωτίδας.*

[Ἐν τῇ ᾤᾳ]: *Ἀλοιφὴ πρὸς ἐψυγμένην κεφαλὴν καὶ ῥευματιζομένους. Ἄλλο.*

[Γαλ. 887]. *Ἄλλο τοῦ αὐτοῦ. Περδικίας προσφάτου, μέλιτος, σχιστῆς, πεπέ-* φ.11α
*ρεως λευκοῦ .....*

[Ἐν τῇ ᾤᾳ] *Τοῦ αὐτοῦ πρὸς σειομένους ὀδόντας.*

*Γαληνοῦ, πρὸς σειομένους ὀδόντας.*

*Αὐρηλίου, πρὸς δυσωδίας στόματος (Γαλ. XII, 892). Στυπτηρίαν καύσας ἐπὶ μύακος χαλκοῦ καὶ ὀστράκου κατασβέννυε οἴνῳ αὐστηρῷ, ἀπὸ ταύτης λάβε......*

*Γαληνοῦ πρὸς λεύκανσιν καὶ δυσωδίαν ὀδόντων.* φ.11β

*Κέρατος ἐλαφείου, μαράθρου σπέρματος......*

[Ἐν τῇ ᾤᾳ]. *Τοῦ αὐτοῦ πρὸς πάντα πόνον ὀδόντος καὶ οὔλων καὶ δυσωδίαν.*

[Γαλ. 879]. *⟨Ἀριστο⟩κράτους πρὸς ἀλγήματα οὔλων καὶ ὀδόντων.* φ.12α
*Μέλιτος λίτρα μία, ὄξους δριμέος ξε΄ εἷς, σχιστῆς......*

*Τοῦ αὐτοῦ πρὸς σειομένους ὀδόντας. (Γαλ. 879). Τοῦ αὐτοῦ πρὸς ὀδόντων βρῶσιν καὶ πόνους.*

[Γαλ. 889]. *Τιμοκράτους σμῆγμα ὀδόντων, ἵνα λευκοὶ ὦσι καὶ εὐώδεις καὶ ἵνα μὴ διαβιβρώσκονται. Νίτρου Γο΄ α΄, σηπίας Γο α΄......*

*Τοῦ αὐτοῦ ὀδοντότριμμα κάλλιστον.*

[Γαλ. 879]. *Τοῦ αὐτοῦ πρὸς οὖλα πλαδαρά.* φ.12β

*Πυρέθρου, θύμου σχιστῆς...*

[Γαλ. 879]. *Πυθίου πρὸς σειομένους ὀδόντας, οὖλα πλαδαρὰ καὶ ὑπὸ φθοράν.*

[Γαλ. 880]. *Διοκλέους περὶ ὀδόντων πόνους* [ἐν τῇ ᾤᾳ].

*Ὀπὸν συλφίου......*

*Τοῦ αὐτοῦ. Ἔνθετον πρὸς βεβρωμένους ὀδόντας.*

*Ὀπὸν σιλφίου......*

*Τοῦ αὐτοῦ πρὸς πόνους ὀδόντων.*

*Σώρεως, σχιστῆς......*

---

5 σιδιρίτιν περδικίτιν 7 ὀδοντότριμα 27 σμῆμα 28 σηπείου 38 σώρει.



Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

[Γαλ. 881]. *Κρίτωνος πρὸς στόματος δυσωδίαν καὶ μέλανας ὀδόντας ἐπιπολῆς.*

*Κριθὰς καὶ ἅλας μέλιτι καὶ οἴνῳ ......*

φ.13α *Πρὸς οὖλα ἀφεστῶτα καὶ πλαδαρὰ καὶ πελιά. Πρὸς ἡλκωμένα οὖλα. Γαληνοῦ σμῆγμα σταλτικὸν οὔλων. Πρὸς οὖλα καὶ ὀδόντας σειομένους. Πρὸς σειομένους ὀδόντας. Ἄλλο.*

φ.13β *Πρὸς ὀδόντας σειομένους.*

*Πρὸς σειομένους ὀδόντας.*

φ.14α [Γαλ. 882]. *Ἀνδρομάχου πρὸς μυλαλγίαν αὐθημερὸν παύουσα. Πεπέρεως, πυρέθρου, τιθυμάλου ὀποῦ, χαλβάνης .... Ἄλλο.*

[Γαλ. 883]. *Πρὸς βεβρωμένην μύλην. Τὸ αὐτό, Μύλην ἀπόνως αἴρεις οὕτω.*

φ.14β *Ἄλλο.*

φ.15α [Γαλ. 875]. *Ἀρχιγένους ὀδόντων προφυλακτὰ πόνων παντοίων.*

[Γαλ. 876]. *Τιθυμάλου ῥίζης ἑψήσας ἐν οἴνῳ μέχρις ἡμέρας, δὶς τοῦ μηνὸς δακλύζου ......*

*Ἀνδρομάχου πρὸς πάσας ὀδύνας ὀδόντων καὶ πρὸς μύλας, ᾗ χρῆται Γαληνός.*

φ.16α [Γαλ. 877]. *Σχιστῆς ⟨α΄, πεπέρεως λευκοῦ, ὀποπάνακτος καὶ πεπέρεως μακροῦ τετρώβολον ......*

*Ἄλλη ἡ Χαιρέα λεγομένη.*

*Ἑλλεβόρου, πυρέθρου, ἰλλυρικῆς ......*

[Γαλ. 878]. *Τοῦ Ἀφροδᾶ μυλική.*

*Στυπτηρίας σχιστῆς, πεπέρεως ......*

φ.16β *Τοῦ αὐτοῦ μυλική, ὥρᾳ μιᾷ παύει.*

*Τοῦ αὐτοῦ, μυλικὴ καλλίστη.*

[Γαλ. 951]. *Γαληνοῦ τῶν ἐν στόματι ἐσχαρῶν.*

φ.17α *Ἐν τοῖς ὑγροῖς καὶ θερμοῖς τόποις τοῦ σώματος, ὁποῖον ἐστὶ καὶ τὸ στόμα, ταχέως ἐπιγίγνεται σηπεδὼν κτλ.*

[Ἐν τῇ ᾠᾳ]. *Θεραπεία, ὅταν γένηται ὄγκος ὑπὸ τὴν γλῶσσαν.*

φ.18α *Ἀνδρομάχου κάλλιστον φάρμακον πρὸς κιονίδας κεχαλασμένας. Μέλιτος λίτρον α΄, στυπτηρίας ὑγρᾶς λίτρον α΄, ῥόδων ἄνθους ......*

φ.18α [Γαλ. 932]. *Τοῦ αὐτοῦ, πρὸς πάντα τὰ ἐν τῷ στόματι.*

*Τοῦ αὐτοῦ στοματικὴ διάχρισιος, ᾗ ἐχρῆτο: ἄνθους ῥόδων, πιτυΐδων, κρόκου.*

φ.19α *Τοῦ αὐτοῦ ἄλλη εὐώδης, ἀγαθὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλλίστη.*

[Γαλ. 946.] *Μενεκράτους στοματική.*

*Κρόκου, βαλαυστίου, ῥόδων, ἐρείκης.*

*Τοῦ αὐτοῦ, ἐκ τοῦ Μεμφίτου.*

*Ροῦ ἐρυθροῦ, ῥόδων ἄνθους, κόστου .....*

---

4 σμῆμα 18 τετρόβολον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*Τοῦ αὐτοῦ, στοματικὴ πάνυ καλή.*
*᾿Ασκληπιάδου, διάχριστος στοματικὴ πρὸς σηπεδόνας.* φ.2
[Γαλ. 947]. *Γαληνοῦ διάχριστος στοματική. Τοῖς δυσχεραίνουσι τὰς φαρμακώδεις ποιότητας ἐπιτήδειος καὶ μάλιστα ἐπὶ πλουσίων γυναικῶν καὶ ἀνδρῶν τρυφηλῶν.*
*᾿Επὶ μὲν οὖν τῶν μετρίων φλεγμονῶν τῶν παρισθμίων ἢ σταφυλῆς, ἐάν τινος ἄλλου μέρους ἀρκοῦσιν οἱ χυλοί, μόνοι τῶν εἰρημένων ἄρτι καρπῶν* ......
[Γαλ. 936]. *Στοματικὴ ᾿Αριστοκλέους πρὸς συνάγχας καὶ τὰ λοιπὰ τὰ ἐν* φ.22α
*στόματι.*
[Γαλ. 941]. *῞Ηρα ἡ διὰ βήσασα στοματικὴ καὶ πρὸς συνάγχας καὶ φλεγμονὰς* φ.22β
*παρισθμίων καὶ ἕλκη τὰ ἐν στόματι· ποιεῖ στομαχικοῖς καὶ δυσεντερικοῖς ἄκρως, ἐν ψυχρῷ διδομένη κυάμου μέγεθος· ἔστι δὲ καὶ ἀρτηριακὴ καλὴ* φ.23α
*καὶ ἀνώδυνος. ἀνίσου Γο΄ α΄, ἄμμεως Γο α΄, σελίνου σπέρματος Γο α΄, κόστου Γο α΄, σχίνου* ......
[Γαλ. 938]. *᾿Ανδρομάχου ἔνδοξον φάρμακον στοματικὸν καὶ πρὸς συνάγχας·* φ.23β
*ποιεῖ καὶ πρὸς ἀπηλπισμένα, τὸ διὰ βήσασα, ᾧ ἐχρῆτο.*
*᾿Ανίσου σπέρματος, σελίνου σπέρματος, ἄμμεως σπέρματος, σχίνου ἄνθους, σχιστῆς στυπτηρίας* ......
[Γαλ. 987]. *Κρίτωνος πρὸς κιονίδας καλή.*
*Σκεύαζε πρὸς αὐτὸν τὸν καιρὸν φοινίκων ὀστᾶ καὶ καρύων ἀπαλῶν, ἀώρων, ξηρῶν* ......
[Γαλ. 984]. *᾿Ασκληπιάδου πρὸς κεχαλασμένας κιονίδας.* φ.24α
*᾿Ανήθου σὺν τῷ σπέρματι καὶ ταῖς ῥίζαις λαβών* .......
[Γαλ. 986]. *Τοῦ αὐτοῦ πρὸς τὰς αὐτὰς ξηρὰς καὶ ὀγκώδεις.*
*Πεπέρεως λευκοῦ, σχιστῆς, κηκίδων.*
[Γαλ. 987]. *Σωρανοῦ πρὸς φλεγμονὰς παρισθμίων καὶ κιονίδας.* φ.24β
*Γλυκύρριζαν θλάσας ἐπίχριε καὶ μέλι* ......
[Γαλ. 990]. *Γαληνοῦ ἐκ τῶν ᾿Ανδρομάχου περὶ ἐπιπολαίας ἄφθης.* φ.25α
[῾Εν τῇ ᾠᾷ].—*῞Αφθα ἐστι κατὰ Γαληνὸν ἡ ἐπιπολῆς ἕλκωσις ἐν στόματι ἔχουσά τι καὶ θερμότητος πυρῶδες.*
[Γαλ. 991]. *Λύκιον ἰνδικὸν σὺν οἴνῳ λειωθὲν περιχριόμενον.*
[Γαλ. 1004]. *Οἷς καὶ αὐτὸς Γαληνὸς χρῆται πρὸς ἄφθας ταυτα εἰσίν.᾿Επὶ μὲν τῶν βρεφῶν ὅσα ψωμίζουσιν αἱ τροφοί, φακῆν μετὰ βραχέος ἄρτου* .....
[Γαλ. 1007]. [τέλος τοῦ ἄνω κεφαλαίου] *οὐ μικρὰς ἐργάζονται βλάβας.* φ.27β
[Γαλ. 995]. *᾿Απολλωνίου τοῦ ῾Ηροφίλου πρὸς λευκὰς ἄφθας κακοήθεις νηπίοις μάλιστα.*
*Χαλκῖτιν ἐλαίῳ ἅμα τρίψας διάχριε πτερῷ* ....

3 δυσχαίνουσι 4 γυνεκῶν 18 ἄμεως 26 κικίδων 28 γλυκύριζαν 29 αὔθης 30 ἐπιτολή 38 χαλκίτιν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

[Γαλ. 996]. *Τοῦ αὐτοῦ διακλύσματα.*

φ.28α *Ἄλλο.*

φ.28β [Γαλ. 999]. *Διαμασητὰ παιδίοις.*

φ.29α [Ἐν τῇ φα]. *Πρὸς ἀπόστημα γλώσσης.*

Τὰ ἐν σελ. 29β μέχρι σελ. 34β εἰσὶν ἄσχετα πρὸς νόσους ὀδόντων καὶ στόματος ἐν γένει, εἰλημμένα, ὡς τὰ πολλά, ἐκ τῶν τοῦ Γαληνοῦ καὶ Παύλου Αἰγινήτου.

Ἐν φ. 29β. *Πρὸς λειχῆνας καὶ κνησμούς.*

*Περὶ μυρμηκιῶν καὶ ἀκροχορδόνων.*

φ.30α *Περὶ ἀποσύρματος.*

φ.30β *Ἕτερον πρὸς ἀποσύρματα καὶ ἀποτρίμματα καὶ χρόνια ἕλκη καὶ πρεσβυτικοὺς καὶ ἁπαλοὺς χρῶτας.* [Παῦλ. Αἰγ. Δ΄, ιδ΄].

φ.31α *Ἕτερον πρὸς ἀποσύρματα καὶ μαστιγωθέντας καὶ τὰς θλάσεις ἄρθρων ἀνώδυνον* [Παῦλ. Αἰγ. Δ΄, 14.].

*Πρὸς τοὺς ἀπὸ μαστιγίου πληγωθέντας.*

φ.31β [Παῦλ. Αἰγ. Δ΄, ζ΄]. *Πρὸς στίγματα ἐκ τῶν Ἀρχιγένους.*

*Ἄλλο χρίσμα.*

φ.32α [Παῦλ. Αἰγ. Δ΄, κε΄]. *Πρὸς τὸ ἐκριζῶσαι τοὺς ἄνθρακας καὶ ἀπολῦσαι τὰς πρὸς τὰ παρακείμενα συνεχείας, ποιεῖ. Ῥοιὰς ὀξείας κατασχίσας, ἕψε ἐν ὄξει ....*

φ.32β [Παῦλ. Αἰγ. Δ΄, κϛ΄]. *Ἕτερον πρὸς ἄνθρακας πάνυ καλόν.*

*Περὶ καρκίνου.*

*Ἐν παντὶ μὲν τοῦ σώματος μέρει πέφυκεν ὁ καρκίνος γίνεσθαι καὶ ἐν ὀφθαλμοῖς καὶ ὑστέρᾳ ὡς ἐν τοῖς περὶ αὐτῶν εἴρηται λόγοις, καὶ ἐν ἄλλοις δὲ πλείοσι μορίοις, ἀλλ' ἐν τοῖς μαστοῖς μάλιστα τῶν γυναικῶν .....*

φ.34α *Τοῦ αὐτοῦ πρὸς καρκινώδη καὶ κακοήθη καὶ τὰ ἐν ἕδρᾳ τυλώδη καὶ τὰ ἐν αἰδοίοις ἢ ὄρχεσιν ἢ καὶ ⟨μασ⟩τοῖς φλεγμοναῖς.*

*Ἐν μολιβδίνῳ ἰγδίῳ καὶ δοίδυκι μολιβδίνῳ λημνίαν σφραγῖδα.*

[Παῦλ. Αἰγ. Δ΄, κϛ΄.]. *Ἀρχιγένους πρὸς καρκινώδη καὶ κακοήθη ἕλκη. Καρκίνων ποταμίων κεκαυμένων καὶ καδμίας .....*

Τὰ κάτωθι καὶ πάλιν ἀνήκουσι τοῖς στοματικοῖς· οὕτω ἐν

φ.34β *Ἀσκληπιάδου πρὸς τὰς ἐν στόματι σηπεδόνας.*

*Ροῦ μαγειρικοῦ, ἐλαφείου ἢ μοσχείου μυελοῦ.*

[Γαλ. 953]. *Κρίτωνος στοματικὴ πρὸς ἐσχάρας ποιοῦσα καὶ πρὸς οὖλα μυδῶντα καὶ δυσώδη.*

*Μίσυος κεκαυμένου, ἴρεως ἰλλυρικῆς ......*

*Ἑρμοῦ πρὸς τὰς ἐκ στόματος περιστάσεις πάσας ἀπὸ ἄφθης μέχρις ἐσχάρας καὶ καρκινωμάτων.*

---

3 διαμάσητα 8 λειχῖνας 23 ἀνὰ πᾶν μὲν τοῦ σώματος μέρει 27 ἢ καὶ ταῖς φλεγμοναῖς.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12

*Ἐρείκης καρπὸν λεάνας ἀναλάμβανε....*

*Τοῦ αὐτοῦ πρὸς νομὰς ἐν στόματι καὶ οὔλοις νεμομένοις καὶ γλώσσῃ.*

*Διακλύσματι δὲ χρῶ πρὸς πάντα τὰ ἐν τῷ στόματι ἕλκη καὶ νομὰς καὶ* φ.35α *σηπεδόνας καὶ μελανίαν οὔλων. Περιστερεῶνας ὀρθὰς ἑψήσας σὺν οἴνῳ δίδου· τὸ ἀφέψημα θερμὸν διακρατεῖν ἐν τῷ στόματι.*

Ἐνταῦθα καὶ πάλιν λήγουσι τὰ ὀδοντικὰ καὶ στοματικά, τὰ δὲ λοιπὰ μέχρι τέλους τοῦ ἔργου ἄσχετά εἰσι πρὸς ταῦτα εἰλημμένα ἐκ τῶν αὐτῶν ὡς ἄνω πηγῶν· οὕτως ἐξακολουθεῖ:

*Πρὸς τὰς τῶν δακτύλων ῥαγάδας καὶ τῶν ὅλων ποδῶν.*

*Πρὸς ῥαγάδας πτερνῶν καὶ πελμάτων.*

*Πρὸς τὰ ἐν τῷ τραύματι ῥυπαρὰ ἕλκη* [ἐκ τῶν τοῦ Παύλ. Αἰγ. Γ΄].

*Πεσσικὴ ἔμπλαστρος ὀνομαζομένη τυραννίς.* φ.36α

*Περὶ βρογχοκήλης.* φ.37β

*Διαφορεῖ βρογχοκήλας βδέλλιον μετὰ μέλιτος.*

[Ἐν τῇ ῴᾳ]. *Πᾶς ὄγκος παρὰ τοῖς ἀρχαίοις κήλη ὀνομάζεται.*

[Ἐν δὲ τῇ ῴᾳ τοῦ φ. 38α]. *Περὶ τὸν βρόγχον γινόμενος ὄγκος βρογχοκήλη ὠνόμασται τοῖς παλαιοῖς.*

*Ἔμπλαστρος πρὸς χοιράδας.* φ.38β

*Ἄλλο ἐκπυίσκον χοιράδας.*

*Ῥηκτικὰ χοιράδων.*

*Ἄλλο πᾶσαν συστροφὴν διαφοροῦν.* φ.39α

*Ἀετίου ἔμπλαστρον πρὸς μελικηρίδας.*

*Ἄλλο πρὸς μελικηρίδας καὶ στεατώματα.* φ.39β

*Πρὸς μελικηρίδας διαφορητική.*

*Ἡ δι᾽ ὀνίσκων πρὸς μελικηρίδας καὶ χοιράδας, ἔτι δὲ καὶ ἐπουλωτική.* φ.40α

*Θεραπεία διὰ φαρμακείας γαγγλίων.* φ.40β

*Ἡ διὰ βουγλώσσου ἤγουν πεντανεύρου.* φ.41α

*Πρὸς φλεγμαίνοντα τραύματα καὶ ἰχῶρας.* φ.41β

*Ἑτέρα κηρωτὴ πρὸς φλεγμονάς.....*, ἔνθα καὶ τὸ τέλος: «*ἐπιστάζων* φ.42α *ἀρνογλώσσου χυλόν, ὅσον ἐπιδέχεται καὶ ἑνώσας χρῶ πρὸς πᾶσαν φλεγμονὴν καὶ ὀφθαλμίαν*».

ΑΡΙΣΤΟΤΕΛΗΣ Π. ΚΟΥΖΗΣ
Τακτ. καθηγητὴς ἐν τῷ Ἀθήνησι Πανεπιστημίῳ

---

4 οὐλῶν 5 δοίδου.

Institutional Repository - Library & Information Centre - University of Thessaly
07/05/2024 01:12:06 EEST - 3.147.73.12